

# Χαιρετισμοί Γ (2024)

Γ ' Χαιρετ 2024

Περισσότερες πληροφορίες πατήστε εδώ...

## Βιογραφία

Γ ' Χαιρετισμοί … Γ ' Στάσις

Νέαν ἔδειξε κτίσιν ,
ἐμφανίσας ὁ Κτίστης ,
ἡμῖν τοῖς ὑπ' αὐτοῦ γενομένοις ,
ἐξ ἀσπόρου βλαστήσας γαστρός
καὶ φυλάξας ταύτην ,
ὥσπερ ἦν ἄφθορον ,
ἵνα τὸ θαῦμα βλέποντες ,
ὑμνήσωμεν αὐτὴν βοῶντες ·
Χαῖρε , τὸ ἄνθος τῆς ἀφθαρσίας ,
Χαῖρε , τὸ στέφος τῆς ἐγκρατείας ...

Χαῖρε , ἀναστάσεως τύπον ἐκλάμπουσα ,
Χαῖρε , τῶν Ἀγγέλων τὸν βίον ἐμφαίνουσα ...

Χαῖρε , δένδρον ἀγλαόκαρπον , ἐξ οὗ τρέφονται πιστοί ,
Χαῖρε , ξύλον εὐσκιόφυλλον , ὑφ' οὗ σκέπονται πολλοί ...

Χαῖρε , κυοφοροῦσα ὁδηγὸν πλανωμένοις ,
Χαῖρε , ἀπογεννῶσα λυτρωτὴν αἰχμαλώτοις ...

Χαῖρε , Κριτοῦ δικαίου δυσώπησις ,
Χαῖρε , πολλῶν πταιόντων συγχώρησις ...

Χαῖρε , στολὴ τῶν γυμνῶν παρρησίας ,
Χαῖρε , στοργὴ πάντα πόθον νικῶσα ...

Χαῖρε , Νύμφη ἀνύμφευτε …….

Ξένον τόκον ἰδόντες ,
ξενωθῶμεν τοῦ κόσμου, τὸν νοῦν εἰς οὐρανὸν μεταθέντες ,
διὰ τοῦτο γὰρ ὁ ὑψηλὸς Θεός ,
ἐπὶ γῆς ἐφάνη ταπεινὸς ἄνθρωπος ,
βουλόμενος ἑλκύσαι πρὸς τὸ ὕψος ,
τοὺς αὐτῷ βοῶντας ·
Ἀλληλούια ...

Ὅλως ἦν ἐν τοῖς κάτω ,
καὶ τῶν ἄνω οὐδόλως ἀπῆν ,
ὁ ἀπερίγραπτος Λόγος ,
συγκατάβασις γὰρ θεϊκή ,
οὐ μετάβασις τοπικὴ γέγονε ,
καὶ τόκος ἐκ Παρθένου θεολήπτου ,
ἀκουούσης ταῦτα ,
Χαῖρε, Θεοῦ ἀχωρήτου χώρα ,
Χαῖρε , σεπτοῦ μυστηρίου θύρα ...

Χαῖρε , τῶν ἀπίστων ἀμφίβολον ἄκουσμα ,
Χαῖρε , τῶν πιστῶν ἀναμφίβολον καύχημα ...

Χαῖρε , ὄχημα πανάγιον τοῦ ἐπὶ τῶν Χερουβείμ ,
Χαῖρε , οἴκημα πανάριστον τοῦ ἐπὶ τῶν Σεραφείμ ...

Χαῖρε , ἡ τἀναντία εἰς ταὐτὸ ἀγαγοῦσα ,
Χαῖρε , ἡ παρθενίαν καὶ λοχείαν ζευγνῦσα ...

Χαῖρε , δι' ἧς ἐλύθη παράβασις ,
Χαῖρε , δι' ἧς ἠνοίχθη παράδεισος ...

Χαῖρε , ἡ κλεὶς τῆς Χριστοῦ βασιλείας ,
Χαῖρε , ἐλπὶς ἀγαθῶν αἰωνίων ...

Χαῖρε , Νύμφη ἀνύμφευτε ...

Πᾶσα φύσις Ἀγγέλων ,
κατεπλάγη τὸ μέγα ,
τῆς σῆς ἐνανθρωπήσεως ἔργον ,
τὸν ἀπρόσιτον γὰρ ὡς Θεόν ,
ἐθεώρει πᾶσι προσιτὸν ἄνθρωπον ,
ἡμῖν μὲν συνδιάγοντα ,
ἀκούοντα δὲ παρὰ πάντων οὕτως ,
Ἀλληλούια ...

Ρήτορας πολυφθόγγους ,
ὡς ἰχθύας ἀφώνους ,

ὁρῶμεν ἐπὶ σοὶ Θεοτόκε ,
ἀποροῦσι γὰρ λέγειν ,
τὸ πῶς καὶ Παρθένος μένεις ,
καὶ τεκεῖν ἴσχυσας ·
ἡμεῖς δὲ τὸ μυστήριο ν θαυμάζοντες ,
πιστῶς βοῶμεν ,
Χαῖρε , σοφίας Θεοῦ δοχεῖον ,
Χαῖρε , προνοίας αὐτοῦ ταμεῖον ...

Χαῖρε , φιλοσόφους ἀσόφους δεικνύουσα ,
Χαῖρε , τεχνολόγους ἀλόγους ἐλέγχουσα ...

Χαῖρε , ὅτι ἐμωράνθησαν οἱ δεινοὶ συζητηταί ,
Χαῖρε , ὅτι ἐμαράνθησαν οἱ τῶν μύθων ποιηταί ...

Χαῖρε , τῶν Ἀθηναίων τὰς πλοκὰς διασπῶσα ,
Χαῖρε , τῶν ἁλιέων τὰς σαγήνας πληροῦσα ...

Χαῖρε , βυθοῦ ἀγνοίας ἐξέλκουσα ,
Χαῖρε , πολλοὺς ἐν γνώσει φωτίζουσα ...

Χαῖρε , ὁλκὰς τῶν θελόντων σωθῆναι ,
Χαῖρε , λιμὴν τῶν τοῦ βίου πλωτήρων ...

Χαῖρε , Νύμφη ἀνύμφευτε ...

Σῶσαι θέλων τὸν κόσμον ,
ὁ τῶν ὅλων κοσμήτωρ ,
πρὸς τοῦτον αὐτεπάγγελτος ἦλθε ,
καὶ ποιμὴν ὑπάρχων ὡς Θεός ,
δι' ἡμᾶς ἐφάνη καθ' ἡμᾶς ἄνθρωπος ,
ὁμοίῳ γὰρ τὸ ὅμοιον καλέσας ,
ὡς Θεὸς ἀκούει ,
Ἀλληλούια .......